παρὰ Δημοσθ: οὐ προσέχετε ὑμεῖς τοῖς τούτων λόγοις, εἰδότες, ὅτι ἐκ πάντων τούτων καὶ τὰ ἑξῆς. ἀντὶ τοῦ καθ' ἡμᾶς εἰδόσι, non. attendentis è horum sermonibus a vobis scientes, ἀντὶ scientibus. καὶ παρ' Ἰσοκρ: δεόμεθα οὖν ὑμῶν ἄνδρες ἀθηναῖοι, μετ' εὐνοίας ἀκροάσασθαι τῶν λεγομένων ἐνθυμουμένους· ἐνταῦθα ἀπὸ γενικῆς εἰς αἰτιατικὴν γίνεται διάβασις ἐναντίον τοῦ κοινοῦ κανόνος· ἔπρεπεν γὰρ ἐδεῖ κατὰ τὸν κοινὸν κανόνα, ἐνθυμουμένων, ὁ μὲν δὲ ἐνθυμουμένους. ὡσαύτως καὶ παρὰ Σοφοκλῇ περὶ τῶν δύο ἀδελφῶν ἐπιόντι, ἴδεσθε, τὼ δὲ τὼ κασιγνήτω vi=dete duas sorores ἀντὶ τὰ κασιγνήτας. καὶ μικρῷ ὕστερον πάλιν λέγει, ψυχῆς ἀφειδήσαντε αὐτῇ φνοδίῳ. ἀντὶ ἀφειδήσασαι. ἀλλὰ τούτων ἀφεθέντων, καὶ τὰ χρήματα τοῖς μικροῖς ὄντα κομιζόντων τοῦ λόγου βραχύτητα ἴδωμεν. ὧν μὲν γὰρ κρειττόνων ὄντων, τὰ μὲν ῥητορικὰ γνωμῶν, ἤτε ἀποφθεγμάτων, τὰ δὲ ποιητικὰ λέξεων, καὶ τὰ γραμματικὰ συντάξεων εἰσὶ περὶ τούτων τὰ νῦν κατὰ τὸ ἐφικτὸν ἡμῖν οὖσιν ἐν τῇ κορωνίδι τῆς συντάξεως εὐκαίρως καὶ λέγομεν.

## Περὶ ἐναλλαγῆς.

Ἐναλλαγή ἐστιν, ὅτε τὸ ἓν μέρος τοῦ λόγου ἀντὶ τοῦ ἑτέρου παραλαμβάνεται. ἢ τὸ ἓν ἀποδιδόμενον τῆς συντάξεως, δηλονότι τὸ κατὰ τὸ ῥῆμα ἀντὶ τοῦ ἑτέρου τίθεται. τὰ γὰρ ὀνόματα ἀντὶ ἐπιρρημάτων, καὶ αὐτὰ τὰ μετὰ ἄρθρου ἀντὶ ἐκείνων, καὶ προθέσεις μετὰ ἄρθρου ἀντὶ ὀνόματος, πολλάκις δὲ καὶ χωρὶς ἄρθρου ἀντὶ ἐπιρρημάτων, ἔτι γε μὴν μετοχαὶ ἀντὶ ὀνομάτων παραλαμβάνονται. πρὸς δὲ

ἐγκλίσεις